www.tezaurliturgic.ro

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΚΥΡΙΛΛΟΥ ΙΩΑΝ. ΚΟΓΕΡΑΚΗ

# ΑΓΙΟΣ ΑΠΟΣΤΟΛΟΣ ΤΙΤΟΣ

## ΑΚΟΛΟΥΘΙΑΙ ΚΑΙ ΑΓΙΟΛΟΓΙΚΑ ΚΕΙΜΕΝΑ

ΕΚΔΟΣΙΣ
ΙΕΡΟΥ ΕΝΟΡΙΑΚΟΥ ΝΑΟΥ ΑΓΙΟΥ ΤΙΤΟΥ ΗΡΑΚΛΕΙΟΥ
ΗΡΑΚΛΕΙΟΝ 2004

www.tezaurliturgic.ro



# ΜΑΪΟΥ ΙΕ΄

## ΜΝΗΜΗ ΤΗΣ ΕΠΑΝΑΚΟΜΙΔΗΣ ΤΗΣ ΤΙΜΙΑΣ ΚΑΡΑΣ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΙΤΟΥ ΠΡΩΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ.

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Μνήμην ἐτήσιον Τίτε, εὐφήμως ἄγοντες, ἐπὶ τῇ ἐπανόδῳ, τῆς τιμίας σου Κάρας, τοῦ Παύλου σε ὑμνοῦμεν χαρμονικῶς, μαθητὴν τὸν συνέκδημον, τὰ κατὰ πνεῦμά σου

www.tezaurliturgic.ro



τέκνα τὰς πρὸς Θεόν, ἱκεσίας σου αἰτούμενοι.

Ἡ πολυθαύμαστος Κρήτη, σήμερον γάνυται, ἀπολαβοῦσα πάλιν, τὸν καλόν σε Ποιμένα· αὐτῇ γὰρ ἐπινεύσει τῇ θεϊκῇ, ἐκ Δυσμῶν ἐπεδήμησας, διὰ τῆς θείας σου Κάρας μετὰ πολλούς, χρόνους Τίτε ἱερώτατε.

Ἧς ἐστερήθημεν πάλαι, νῦν ἀπελάβομεν, ὦ θεομάκαρ Τίτε, σεβασμίαν σου Κάραν, καὶ κλίνοντες πρὸ ταύτης τέκνα τὰ σά, ψυχῆς γόνυ καὶ σώματος, ἀναβοῶμεν· Ὦ Πάτερ φρούρει ἡμᾶς, ταῖς εὐχαῖς σου καὶ περίσῳζε.

Τὴν μετακόμισιν Τὶτε, τῆς θείας Κάρας σου, ἐπιτελοῦσα πόθῳ, ἡ ἁγία σου ποίμνη, προσέρχεται σῷ οἴκῳ πανευλαβῶς, καὶ ἐκ ταύτης σῆς χάριτος, τοὺς μυστικοὺς δρεπομένη Πάτερ καρπούς, κατὰ χρέος μακαρίζει σε.

Δόξα. Ἦχος β΄.

Σήμερον ἡ τῶν Κρητῶν Ἐκκλησία, μνήμην ἐτήσιον ἄγουσα, τῆς θαυμαστῆς ἐπανόδου τῆς Κάρας σου, Τίτε θεορρῆμον Ἀπόστολε, ἐνθέως εὐφραίνεται· σὺ γὰρ ηὐδόκησας αὐτῇ, μετὰ πολυχρόνιον στέρησιν, ταύτην καὶ πάλιν ἀποδοθῆναι, ὡς δώρημα ἀληθῶς οὐράνιον, τῆς εὐνοίας σου ἐκφαίνουσαν τὴν χάριν, καὶ ἁγιάζουσαν Πάτερ τὰς ψυχάς, τῶν εὐλαβῶς εὐφημούντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Κρήτης σε τὸν σεπτόν, ἀρχίθρονον ὦ Τίτε, αἰσίως εὐφημοῦμεν, σὴν Κάραν τὴν ἁγίαν, φαιδρῶς κατασπαζόμενοι.

www.tezaurliturgic.ro



Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Σκεῦος ἁγιασμοῦ, δέδωκας τὴν σὴν Κάραν, τῇ ποίμνῃ σου ὦ Τίτε, ἧς σήμερον τελοῦμεν, τὴν πάνσεπτον ἐπάνοδον.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ποίμνη σου ἡ σεπτή, προστρέχουσα ἐν πίστει, τῇ Κάρᾳ σου βοᾷ σοι· Μή με στερήσῃς Τίτε, τῆς σωστικῆς σου χάριτος.

Δόξα. Τριαδικόν.

Κράτος τὸ ἑνικόν, τῆς τρισαυγοῦς σου δόξης, Τριὰς Ὑπεραγία, ἐτράνωσεν ἐν Κρήτῃ, ὁ Τίτος ὁ Ἀπόστολος.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, μή με ἀποστερήσῃς, τῆς σῆς κηδεμονίας, ὅτι εἰς σὲ ἐλπίζω, τὴν μόνην προστασίαν μου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! μετὰ χρόνους πολλούς, πάλιν ἐπεδήμησας, τῇ ποίμνῃ σου συμπαθῶς, διὰ τῆς Κάρας σου, καὶ ταύτην ὁ σὸς λαός, ἐν θεαρέστῳ πομπῇ ὑπεδέξατο, μετ᾽ ἤχου πνευματικῆς, ἀνακραυγάζων σοι πόθῳ αἰνέσεως· Θεοῤῥῆμον Τίτε χαῖρε, Κρήτης ὁ ἀρχίθρονος, τὸ τῆς γλώσσης τοῦ Παύλου, ὑψηλότατον ἀπήχημα.

Βαβαὶ τῆς σῆς προμηθείας Χριστέ! σὺ γὰρ τῶν τῆς Ἄγαρ, μανίας διέσωσας, τὴν Κάραν τὴν ἱεράν, Τίτου τοῦ μάκαρος, καὶ ταύτην ἄχρι καιροῦ, φυλαττομένην ἐν Δύσει ηὐδόκησας, ἀρτίως ὡς ἀγαθός, ἀποδοθῆναι τῇ ποίμνῃ ὡς ἔπρεπε. Ὅθεν ἐξ αὐτῆς τρυγῶντες, χάριν ἀγλαόδωρον, σὲ δοξάζομεν Σῶτερ, σὺν Πατρί τε καὶ τῷ Πνεύματι.

Τὴν σὴν ἁγίαν ἐπάνοδον, διὰ τῆς σῆς Κάρας, Τίτε παναοίδιμε, γεραίρει ᾀσματικῶς, ἡ κληρουχία σου, καὶ σπεύδουσα ἐν χορῷ, τῷ περικλύτῳ ναῷ σου Ἀπόστολε, προσπί-

www.tezaurliturgic.ro



πτει σοι εὐλαβῶς, καὶ υἱϊκῶς τῷ Πατρὶ ἀνακράζει σοι· Μηδαμῶς ἀποχωρήσῃς, πλέον ἐκ τῆς νήσου σου, οὐδὲ ταύτην στερήσῃς, τοῦ λοιποῦ σῆς θείας χάριτος.

Προσόμοια ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.
Νικοδήμου Ἀρχιερέως.

Θησαυρὸν ὡς πολύτιμον, ἡ ἐν Κρήτῃ ἀπέλαβεν, Ἐκκλησία σήμερον θείαν Κάραν σου, καὶ συναγείρει ἐν οἴκῳ σου, πιστοὺς εἰς πανήγυριν, καὶ ᾀσμάτων ταῖς ᾠδαῖς, σὲ γεραίρει Ἀπόστολε, Τίτε ἔνδοξε, ὡς Ἐπίσκοπον πρῶτον ὑπὸ Παύλου, ἐν αὐτῇ κατασταθέντα, καὶ πρεσβευτὴν ὡς θερμότατον.

Πρὸς καιρὸν στερηθέντες σου, Τίτε αὖθις πλουτοῦμεν νῦν, κομιδῇ λειψάνων σου παναοίδιμε· σὺ γὰρ ὑπάρχεις ἀγλάϊσμα, τῆς Κρήτης καὶ καύχημα, χριστοκῆρυξ καὶ Ποιμήν, καὶ φρουρὸς ἀπροσμάχητος, καὶ ἀκοίμητος. Διὸ πρέσβευε πάντοτε Κυρίῳ, τὴν σὴν ποίμνην φυλαχθῆναι, ἀπὸ κινδύνων ἀνώλεθρον.

Τὸν τοῦ Παύλου συνέκδημον, καὶ αὐτοῦ τέκνον γνήσιον, ἐν κοινῇ τῇ πίστει Χριστοῦ γενόμενον, τὸν ἐξ Ἐθνῶν μὲν ὁρμώμενον, Κρητῶν δὲ διδάσκαλον, γνωρισθέντα καὶ Χριστοῦ, Εὐαγγέλιον Ἔθνεσι, καταγγείλαντα, εὐφημήσωμεν Τίτον αὐτοῦ σχόντες, τὴν πανίερον νῦν Κάραν, σεπτὰς πρεσβείας αἰτούμενοι.

Δόξα. Ἦχος πλ. β΄.

Εὐφροσύνης πρόξενος ἡμῖν, ἡ τῆς ἁγίας σου Κάρας ἐπάνοδος, Τίτε Ἀπόστολε γέγονε· διὸ ἑορτὴν λαμπρὰν συγκροτήσαντες, ἐν τῷ πανσέπτῳ ναῷ σου προστρέχομεν, καὶ ἐν αὐτῷ μετὰ δέους ἱστάμενοι, εὐλαβῶς ἀναβοῶμεν· Χαίροις τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ σάλπιγξ, τὸ ὑψηλὸν τῆς

www.tezaurliturgic.ro



Παύλου γλώσσης ἀπήχημα, καὶ αὐτοῦ τῶν ἔργων, τὸ κράτιστον κατόρθωμα· χαίροις ὁ τῆς ἐν Κρήτῃ Ἐκκλησίας, ἀρχίθρονος χρηματίσας θεοπρόβλητος, καὶ αὐτῆς ὑπάρχων ἀεί, θεόκτιστον ὄντως προπύργιον· χαίροις ὁ καιόμενος λύχνος, ὁ ἐν τῇ λυχνίᾳ ταύτῃ τεθείς, καὶ φαίνων τῇ λογικῇ σου ποίμνῃ, τὸ φῶς τῆς Χριστοῦ ἐπιγνώσεως. Φρούρησον οὖν πανεύφημε, ἀπὸ πάσης προσβολῆς καὶ περιστάσεως, τὴν μεγαλύνουσάν σε νῆσον, πιστῶς ἀνακειμένην τῇ προστασίᾳ σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(Κεφ. α΄ 1-5).

Παῦλος, δοῦλος Θεοῦ, Ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Τούτου γὰρ χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(Κεφ. β΄ 1, 2, 6, 8, 11-15).

Τέκνον Τίτε, λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. Τοὺς νεωτέρους παρακάλει σωφρονεῖν, περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας

www.tezaurliturgic.ro



ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄ 4-7).

Τέκνον Τίτε, ὅτε ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου, οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.
Νικοδήμου Ἀρχιερέως.

Ἀγάλλεται σήμερον, πᾶσα ἡ Κρήτη καὶ συγχορεύει, τοῦ ἑαυτῆς νυμφαγωγοῦ, τοῦ τῷ Χριστῷ αὐτὴν ἁρμοσαμένου, Κάραν πάντιμον εἰσδεδεγμένη. Καὶ ἐκβοᾷ τῷ Ποιμένι ἡ ποίμνη· Σὺ τῆς νήσου ὁ πρῶτος Ἱεράρχης, μὴ παύσῃ πρὸς νομὰς καθοδηγῶν σωτηρίους, καὶ πρέσβευε Κυρίῳ, Τίτε ἱερώτατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Ὁ αὐτός.

Εὐφραίνεται ἐν Κυρίῳ καὶ ἀγάλλεται, ἡ πολυθαύμαστος σήμερον Κρήτη, ἑορτὴν ὑπέρλαμπρον ἄγουσα, τῆς μετακομιδῆς τῆς σεπτῆς κεφαλῆς σου, Τίτε πανaοίδιμε, καὶ σοὶ τῷ Πατρὶ εὐσήμως ἀνακράζει· Χαίροις ὁ φαιδρὸς τοῦ ἐκκλησιαστικοῦ στερεώματος ἥλιος, καὶ λαμπαδοῦχος τῶν ἐμψύχων, λαμπτήρων ἀστήρ· χαίροις ἡ καθόλου βροντῶσα φωνή, τοὺς καταῤῥάκτας ἡμῖν τῶν θείων, οἰκτιρμῶν ὑπανοίξασα· χαίροις ἡμῶν ὡς οἰκείων ὁ πρόμαχος, καὶ πάντων τῶν ἐν ἀνάγκαις, ὁ ἀψευδὴς ἀντιλήπτωρ. Πρέσβευε οὖν ἀπαύστως τῷ Θεῷ, τὴν εἰρήνην δωρήσασθαι, ταῖς ψυχαῖς τῶν τιμώντων σε.

Ἦχος β΄.

Ἀποστολικὴν δωρεὰν κεκληρωμένος, ὑπὲρ τοῦ Εὐαγγελίου ἐκοπίασας, καὶ νύμφην ἐκλεκτὴν τῷ Κυρίῳ, τὴν ἐν Κρήτῃ Ἐκκλησίαν παρέστησας, Τίτε παμμακάριστε. Ὅθεν σήμερον τῆς χάριτος, τὴν μυστικὴν εὐπρέπειαν ἐνδεδυμένη, ἐν κατανύξει προστρέχει τῇ Κάρᾳ σου, καὶ ἐξ αὐτῆς ἁγιασμὸν ἀπαρυομένη, εὐχαρίστως ἀνακραυγάζει· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, ἀποδόντα μοι τὸν αὐτῷ ἁρμοσάμενόν μοι, ὅτι πλούσιος ἐν ἐλέει ὑπάρχει, καὶ ἀνείκαστος ἐν ἀγαθότητι.

Ἦχος γ΄.

Ἡ πλουσιόδωρος χάρις, τοῦ Παναγίου Πνεύματος, ἀνεκφοίτητος ἐν τῇ Κάρᾳ σου φοιτῶσα, τοῖς εὐσεβέσιν ἀπαύστως, ἐνεργεῖ τὰ παράδοξα, σωματικὰ πάθη θεραπεύουσα, καὶ ψυχικοὺς μολυσμοὺς ἐκκαθαίρουσα, Τίτε Χριστοῦ Ἀπόστολε· Χριστὸς γὰρ ὃν ἐκήρυξας, Θεόν καὶ Σωτῆρα φιλάνθρωπον, ὑπερφυῶς σε ἐδόξασε, κατὰ τὴν αὐτοῦ ἐπαγγελίαν· ᾧ πρέσβευε δεόμεθα ἐκτενῶς, ὑπὲρ τῆς ποίμνης σου Πάτερ, ἀνακειμένης ἀεὶ τῇ προστασίᾳ σου.

www.tezaurliturgic.ro



Ἦχος δ΄.

Ὁ τοῦ Παύλου μαθητὴς καὶ συνέκδημος, καὶ τοῦ Κυρίου ἔνθεος Ἀπόστολος, διὰ τῆς πανεντίμου Κάρας αὐτοῦ, τῇ ποίμνῃ ἀναφθέγγεται σήμερον, τῆς σωτηρίας τὰ ῥήματα. Δεῦτε ἀκουσώμεθα αὐτοῦ, καὶ πολιτευόμενοι ἀξίως, μετ᾽ εὐλαβείας ἐκβοήσωμεν· Μὴ παύσῃ ἡμῖν λαλῶν, Τίτε παμμακάριστε, ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ στήριζε ἡμᾶς ἐν αὐτῇ, ἵνα τύχωμεν διὰ σοῦ, τῶν μελλόντων ἀγαθῶν τῆς ἀπολαύσεως.

Δόξα. Ἦχος πλ. α΄.

Νῦν ἑορτὴν συγκροτοῦντές σοι καινήν, ἐπὶ τῇ ἐλεύσει ὦ Τίτε τῆς Κάρας σου, εὐφροσύνης καὶ ἀγαλλιάσεως πληρούμεθα· ὡς ἔαρ γὰρ μυστικόν, ἐν τῇ τοῦ ἔαρος ὥρᾳ ἐπεδήμησε, καὶ ὡς ῥόδον μυρίπνοον διαπνέει, εὐωδίαν τὴν τοῦ Πνεύματος. Ὅθεν προστρέχοντες πιστῶς, αὐτὴν κατασπαζόμεθα, καὶ ἐν αὐτῇ τὸν Ποιμένα σε ὁρῶντες, τῆς ποίμνης καὶ πάλιν προϊστάμενον, ἱκετικῶς ἀναβοῶμεν· Ἆρον ὦ Πάτερ ὡς συμπαθής, τῷ Δεσπότῃ τὰς χεῖρας, δεόμενος καὶ λέγων· Κύριε ἐξ οὐρανοῦ ἐπίβλεψον καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, πρὸς ἥν με διὰ Παύλου ἀπέστειλας, πρῶτον γεωργὸν ὡς φιλάνθρωπος.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Εὐαγγελίου βλαστός, υἱὸς τοῦ Παύλου ἐκλεκτὸς καὶ συνέκδημος, τῆς Κρήτης ὁ Ποιμενάρχης, καὶ λα-

www.tezaurliturgic.ro



μπαδοῦχος φαιδρός, τῶν οἰκείων τέκνων ὁ ἐπίκουρος· ὦ Τίτε μακάριε, Ἀποστόλων συνόμιλε, τῆς ἀληθείας, ὑπουργὸς ὁ θεόληπτος, τὸ σεμνότατον, Ἐκκλησίας ἐντρύφημα· πάντας τοὺς καταφεύγοντας, πιστῶς τῷ τεμένει σου, καὶ κατανύξει καρδίας, ἀσπαζομένους τὴν Κάραν σου, Χριστὸν ἐκδυσώπει, τῆς κακίας τοῦ ἀρχαίου, δυνάστου ῥύεσθαι.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Ὅτε Ἀγαρηνῶν ὁ ἐσμός, τὴν κληρουχίαν σου ὦ Τίτε ἐμίανεν, ἡ Κάρα σου ἡ τιμία, ὡς θησαυρὸς ἀληθής, εἰς τὴν Βενετίαν μετεκόμισται· ἐκεῖθεν δὲ Ἅγιε, μετὰ χρόνων παρέλευσιν, σοῦ διαδόχου, τῇ αἰτήσει ἐν νήσῳ σου, μετ' αἰνέσεως, καὶ πομπῆς μετενήνεκται· ταύτην δὲ ὑπεδέξατο, ἡ ποίμνη σου χαίρουσα, ὥσπερ τεκμήριον θεῖον, τῆς πατρικῆς προμηθείας σου, ἣν Πάτερ μὴ ἄρῃς, ἀπ' αὐτῆς ἐν ἐγκωμίοις, ἀνευφημούσης σε.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Χαίρει ἡ νῆσος Κρήτη λαμπρῶς, τῇ ἐπανόδῳ Πάτερ Τίτε τῆς Κάρας σου, καὶ ἄγει σοι εὐφροσύνως, πνευματικὴν ἑορτήν, τὸν καλὸν Ποιμένα μακαρίζουσα· Ἀπόστολε ἔνδοξε, τῆς Γορτύνης ἀρχίθρονε, τοῦ Ἀποστόλου, τῶν ἐθνῶν τὸ γεώργιον, καὶ ἀπήχημα, τῆς αὐτοῦ γλώσσης εὔηχον. Ὅθεν μὴ παύσῃ Ἅγιε, ὑπὲρ τοῦ ποιμνίου σου, αἴρων Κυρίῳ τὰς χεῖρας, τῷ θαυμαστῶς σε δοξάσαντι, καὶ χάριτος κρήνην, ἀναδείξαντι εὐσπλάγχνως, τὴν θείαν Κάραν σου.

Δόξα. Ἦχος δ΄.

Ἔπρεπε τῇ περιφήμῳ Κρήτῃ, ὡς οὖσαν οἰκείαν κληρουχίαν, ὡς θησαυρὸν κατέχειν τὴν Κάραν σου, ἣν πάλαι οἱ πιστοὶ φυγαδεύοντες, ἐν Βενετίᾳ εὐλαβῶς μετεκόμισαν, Τίτε

www.tezaurliturgic.ro



Χριστοῦ Ἀπόστολε. Ὅθεν θεόθεν ἠγμένος, ὁ σὸς διάδοχος Εὐγένιος, φερωνύμως ταύτην ᾐτήσατο, καὶ ἐν ἀγαλλιάσει ὑπεδέξατο· ηὐφράνθη δὲ καὶ ὁ φιλόχριστος λαός, ἐξελθὼν ἐν χαρᾷ πρὸς ὑπάντησιν, καὶ ἀνθομολογούμενος ἀνεβόα· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, ἀποδόντα μοι τὸν φιλότεκνον πατέρα, καὶ τὴν ἀπαρχὴν τῶν διδασκάλων μου· τὸ πρῶτον τῆς Ἐκκλησίας θεμέλιον, καὶ αὐτῆς θεόκτιστον προπύργιον· τὸν πρώτιστον τῆς εἰδωλομανίας ἀντίπαλον, καὶ τῆς Χριστοῦ θεοσοφίας ὑπέρμαχον, καὶ ἀκρότομον ἕδραν καὶ πέτραν τῆς πίστεως. Διὸ αἰτοῦμέν σε, φιλάγαθε Πρωτεπίσκοπε, μὴ κρύψῃς τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, τῶν ὑπερλίαν ποθούντων σε, καὶ πεποιθότων τῇ πρεσβείᾳ σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Πατρικῆς σου ἀγάπης, θεοδώρητον σκήνωμα, ἧκται ἐκ τῆς Δύσεως Τίτε, ἐν τῇ Κρήτῃ ἡ Κάρα σου, ἣν πόθῳ προσπτυσσόμενοι ψυχῆς, λαμβάνομεν ἀφθόνως ἐξ αὐτῆς, θείας χάριτος τὰς κρείττονας δωρεάς, οἱ πόθῳ ἐκβοῶντές σοι· Χαίροις τοῦ θείου Παύλου μαθητής· χαίροις φωστὴρ τῆς πίστεως· χαίροις ὁ Πρωτεπίσκοπος ἡμῶν, καὶ μέγας πρόμαχος.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Θείῳ νεύματι, ἐκ Βενετίας, ἡ ὑπέρτιμος, Κάρα σου Τίτε, ἐπανῆκεν ἀρτίως τῇ νήσῳ σου, ὡς πατρικῆς προμηθείας τεκμήριον, καὶ χαρισμάτων ἐνθέων κειμήλιον, ᾗ προστρέχοντες, καρπούμεθα τὴν ἐνέργειαν, τοῦ Πνεύματος καὶ πόθῳ εὐφημοῦμέν σε.

Τὸ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἐπέφανεν ἰδού, εὐφροσύνης ἡμέρα, τῆς μετακομιδῆς, τῆς ἁγίας σου Κάρας, καὶ ὕμνον ἑόρτιον, Τίτε πόθῳ σοι ᾄδομεν, ἀνακράζοντες· Κρήτης ἀρχίθρονε θεῖε, καὶ συνέκδημε, τοῦ θεοκήρυκος Παύλου, τὴν ποίμνην σου φύλαττε.

Δόξα. Ὅμοιον.

Ἐκφαίνει μυστικῶς, ἡ ἁγία σου Κάρα, ὦ Τίτε τοῖς πιστοῖς, ἧς ἠξίωσαι δόξης, καὶ θείας λαμπρότητος, ὡς θεόπνους Ἀπόστολος· τῶν ἰάσεων, ἀναπηγάζει γὰρ ῥεῖθρα, τοῖς προστρέχουσιν, αὐτῇ ψυχῆς διαθέσει, καὶ πόθῳ ὑμνοῦσί σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ΄. Θείας πίστεως.

Δεῦρο ἅπασα, τοῦ Ἡρακλείου, πόλις σήμερον, ἐν τῷ τεμένει, τοῦ σεπτοῦ Πρωτοθρόνου προσέλθωμεν, καὶ τὴν τιμίαν αὐτοῦ ἀσπαζόμενοι, ἐν πίστει Κάραν συμφώνως βοή-

www.tezaurliturgic.ro



σωμεν· Τίτε ἔνδοξε, τὴν ποίμνην σου φρούρει πάντοτε, ἐκ πάσης ἐπηρείας καὶ κακώσεως.

Δόξα. Ὅμοιον.

Θείου Πνεύματος, τῇ ἐπομβρίᾳ, ὑπὲρ ἔννοιαν καταρδομένη, ἡ ἁγία σου Κάρα Ἀπόστολε, ψυχῆς καὶ σώματος κρήνη ὡς ἄφθονος, ἀναπηγάζει τῷ κόσμῳ ἰάματα· ᾗ προσπίπτοντες, δοξάζομεν Τίτε ἔνδοξε, Χριστὸν σὺν τῷ Πατρί τε καὶ τῷ Πνεύματι.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς κιβωτὸς ἁγιασμοῦ θεῖε Τίτε, καὶ ἱλαστήριον σεπτὸν τῇ σῇ ποίμνῃ, ἡ σεβασμία πρόκειται νῦν Κάρα σου· ἐν αὐτῇ γὰρ Πνεύματος, ἀνεκφοίτητος οὖσα, χάρις ἡ ἀέναος, ἐνεργεῖ τὰς ἰάσεις, πρὸς θεραπείαν Ἅγιε παθῶν, καὶ σωτηρίαν τῶν πόθῳ τιμώντων σε.

Δόξα. Ὅμοιον.

Μέσον ἑστῶτα ἐν τῇ θείᾳ σου Κάρᾳ, τῆς λογικῆς σε ποίμνης Τίτε ὁρῶντες, σοὶ ὡς Πατρὶ προσπίπτομεν κραυγάζοντες· Μεῖνον ὦ φιλάγαθε, μεθ' ἡμῶν εἰς αἰῶνας, τῶν ἐπιποθούντων σε, καὶ σφοδρῶς ἀγαπώντων, καὶ ἀπημάντους πάντας σαῖς εὐχαῖς, τήρει ἡμᾶς ἀναγκῶν καὶ κακώσεων.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

www.tezaurliturgic.ro



Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Εὐαγγέλιον, τὸ α΄ Ἑωθινόν.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀποστόλου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Σήμερον ἡ ποίμνη σου ἀγάλλεται, χαρμόσυνον ἑορτὴν ἐπιτελοῦσα, ἐπὶ τῇ ἐπανόδῳ τῆς Κάρας σου, Τίτε Χριστοῦ Ἀπόστολε, καὶ ἐξ αὐτῆς τὸν ἄφατον πλοῦτον, τῶν δωρεῶν σου δεχομένη, τῷ ποιμένι βοᾷ σοι· Χριστομίμητε Πάτερ, πάσης ἐχθρῶν ἐπιβουλῆς, τὴν νῆσον ἀσινῆ διάσῳζε, καὶ οἰκείωσον εὐχαῖς σου τῷ Θεῷ, τοὺς εὐλαβῶς ἀφορῶντας, τῇ πατρικῇ προμηθείᾳ σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα, ὁ Κανὼν τῆς Ἑορτῆς καὶ οἱ Κανόνες τοῦ Ἀποστόλου. Κανὼν πρῶτος τοῦ Ἀποστόλου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Ἀναστάσεως ἡμέραν, εὐφροσύνη ψυχῆς, ἄγοντες τοῦ Δεσπότου, τῆς Κρητονήσου ὁ λαός, Πρωτοθρόνου τοῦ κλεινοῦ, τῆς Κάρας πιστῶς, ἐν ὕμνοις τιμήσωμεν, τὴν ἐπάνοδον σήμερον.

Καθαρθῶμεν τῶν ἐνύλων, καὶ τῷ θείῳ ναῷ, πάντες τοῦ Ἀποστόλου, σπεύσωμεν Κρήτης ὁ λαός, ἔνθα Κάρα ἡ σεπτή, ἡμῖν μυστικῶς, πηγὴ ὡς ἀκένωτος, ἁγιάσματος πρόκειται.

www.tezaurliturgic.ro



Οὐρανοὶ μὲν τῇ σῇ δόξῃ, ἐπευφραίνονται νῦν, ποίμνη σου δὲ χορεύει, ἡ ἐν τῇ Κρήτῃ εὐσεβῶς, ὅτι γέρας τιμαλφές, χαρὰν καὶ τρυφήν, ὦ Τίτε ἐπλούτισε, τὴν ὑπέρτιμον Κάραν σου.

Θεοτοκίον.

Κυριώνυμε Παρθένε, ἐξ Εἰκόνος τῆς σῆς, ἣν προσφυῶς καλοῦμεν, Μεσοπαντήτισσα ἡμῖν, ὡς ἐκ κρήνης δαψιλοῦς, τὸ νᾶμα τῶν σῶν, ἀφθόνως ἀνάβλυσον, οἰκτιρμῶν ὡς φιλεύσπλαγχνος.

Κανὼν δεύτερος τοῦ Ἀποστόλου, φέρων Ἀκροστιχίδα, πλὴν τῶν Θεοτοκίων, τήνδε· «Τίτου Κάρας ὕμνος Νικοδήμου». Ποίημα Νικοδήμου Ἀρχιερέως.

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Τίτε παμμάκαρ τοῦ Χριστοῦ Ἀπόστολε, πρόσχες τοῖς τέκνοις τοῖς σοῖς, ψάλλουσί σοι ὕμνον, καὶ λιτὰς τελοῦσί σοι, καὶ τὴν τιμίαν Κάραν σου, μετὰ πόθου κυκλοῦσι, τὰς σὰς πρεσβείας δὲ ἔντεινον, παῤῥησίαν ἔχων πρὸς Κύριον.

Ἱερωσύνης τῇ στολῇ κοσμήσας σε, ὁ θεῖος Παῦλος σοφέ, συνεργὸν ἐκάλει, καὶ ὡς τέκνον γνήσιον, συνέκδημον παρέλαβε, καὶ Ἐπίσκοπον πρῶτον, τῇ Ἐκκλησίᾳ κατέστησε, Κρήτης ᾗ σὴ Κάρα κεκλήρωται.

Τοῦ διδασκάλου ὑποθήκας ἔλαβες, ἐπιστολῇ τῇ πρὸς σέ, Τίτε Ἱεράρχα, γεγραμμένας ἔκπαλαι, καὶ τοῖς πιστοῖς αἰώνιον, ὡς ἀνάγνωσμα αὗται, τῇ Ἐκκλησίᾳ ἐδόθησαν, ἃς πρὸς τῇ σῇ Κάρᾳ κατέχομεν.

Θεοτοκίον.

Οὐ σιωπήσω τοῦ βοᾶν τρανότατα, τὰ μεγαλεῖα τὰ σά· εἰ μὴ γὰρ σὺ Κόρη, πάντοτε προΐστασο, ὑπὲρ ἡμῶν πρεσβεύουσα, τῷ Υἱῷ καὶ Θεῷ σου,· τίς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐῤῥύσατο;

www.tezaurliturgic.ro



Κανὼν πρῶτος. Ὠδὴ γ΄. Δεῦτε πόμα.

Δεῦτε ἀγαλλόμενοι φαιδρῶς, νῦν τῇ Κάρᾳ τοῦ Τίτου πιστοὶ προσδράμωμεν, ἀναβοῶντες αὐτῷ· Ὦ Πάτερ ὡς τέκνα σου ἡμᾶς, δεῦρο περιποίησον.

Νῦν Κρήτη πεπλήρωται χαρᾶς, μετὰ χρόνων παρέλευσιν καθορῶσά σε, ἐν μέσῳ ὄντως αὐτῆς, ἑστῶτα ὦ Τίτε θαυμαστέ, ἐν τῇ θείᾳ Κάρᾳ σου.

Χθὲς μὲν ἐκ τῆς Δύσεως ἡμῖν, ἐν πομπῇ ἐπανῆλθε Τίτε ἡ Κάρα σου, σήμερον δὲ ἐξ αὐτῆς, προχέεις τῇ ποίμνῃ δαψιλῶς, χάριν ἀγλαόδωρον.

Θεοτοκίον.

Ὕμνοις σε τιμῶμεν εὐσεβῶς, ἀπειρόγαμε Μῆτερ Μεσοπαντήτισσα, σκεῦος τῶν σῶν δωρεῶν, τὴν τῆς παναγίας σου Μορφῆς, ἐμφέρειαν ἔχοντες.

Κανὼν δεύτερος. Οὐρανίας ἁψῖδος.

Οὐρανῶν βασιλείας, πολίτης σὺ γέγονας, καὶ ἐργάτης ταύτης ὦ Τίτε· ἐν τῇ Ἀσίᾳ γάρ, καὶ ἐν Εὐρώπῃ σοφέ, περιοδεύσας σὺν Παύλῳ, εἰς τὴν Κρήτην ἔμεινας, ζῶν καὶ λειψάνοις σου.

Ὑπὸ Παύλου πολλάκις, ἀποσταλεὶς ἔνδοξε, τοῦ σοῦ διδασκάλου ὦ Τίτε, ὥς τις ἐπίτροπος, τὰ πρὸς εἰρήνευσιν, οἰκοδομήν τε καὶ χρείαν, ἐμερίμνας ἄριστα, ὡς καὶ νῦν ποίησον.

Κορυφήν σε γινώσκει, καὶ θησαυρὸν ἄφθιτον, ἔκπαλαι ἡ Κρήτη θεόφρον, Τίτε Ἀπόστολε, ἧς Ἱεράρχης τε, καὶ χριστοκῆρυξ ἐγένου, καὶ τὴν θείαν Κάραν σου, αὐτῇ δεδώρησαι.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἐθαυμάστωσας ὄντως, νῦν ἐπ' ἐμοὶ Δέσποινα, τὰς εὐεργεσίας σου Κόρη, καὶ τὰ ἐλέη σου· ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄφατον, κηδεμονίαν σου.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τίς μὴ θαυμάσει σου, Χριστὲ τὴν πρόνοιαν! ὅτι δεδώρηκας, ἡμῖν ὡς εὔσπλαγχνος, ὥσπερ ηὐδόκησας αὐτός, τὴν Κάραν τοῦ Ἀποστόλου, ἣν κατασπαζόμενοι, ἐξ αὐτῆς ἀρυόμεθα, χάριν πλουσιόδωρον, καὶ θαυμάτων τὰ νάματα, βοῶντες· Χαῖρε ἔνδοξε Τίτε, Κρήτης φωσφόρε λαμπαδοῦχε.

Δόξα. Ὅμοιον.

Ὡς Παύλου γνήσιον, τέκνον Ἀπόστολε, θεῖον συνέκδημον, καὶ ἐν ταῖς θλίψεσι, συγκοινωνόν σε ἀληθῆ, γεραίρομεν γηθοσύνως, καὶ ὑποκλινόμενοι, εὐσεβάστως τῇ Κάρᾳ σου, ὡς δὴ ἐδιδάχθημεν, τὴν τιμὴν ἀπονέμομεν, βοῶντες· Χαῖρε πάνσοφε Τίτε, Κρήτης ὁ πρῶτος Ἱεράρχης.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἐπὶ τῇ Κάρᾳ σου πιστῶς, οἱ ἐν τῇ Κρήτῃ εὐσεβεῖς, χαίρουσιν ἀρχίθρονε Τίτε· ἐκ Δυσμῶν γὰρ ἔνδοξε, ἀρτίως μετενήνεκται, βλύζουσα εὐλογίας πλουσίως, σῆς πατρικῆς προχοάς, τοῖς προσπελάζουσι.

Ὡς ἐνιαύσιος πηγή, ἀγαλλιάσεως ἡμῖν, ὤφθη ἡ παροῦσα ἡμέρα, ἐν ᾗ ἑορτάζομεν, τῆς Κάρας σου τὴν ἔλευσιν· ἧκται γὰρ φερομένη ὁσίαις, σοῦ διαδόχου χερσί, Τίτε ὡς ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυΐδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν Πάτερ Τίτε, ἡμεῖς δὲ τὰ τέκνα σου, κυ-

www.tezaurliturgic.ro



κλοῦντα νῦν τὴν Κάραν σου, ὕμνοις σὲ καὶ ᾠδαῖς εὐφημοῦμεν, καὶ ἐξ αὐτῆς δωρεάς, χύδην λαμβάνομεν.

Θεοτοκίον.

Ῥῶσιν δωρεῖται τοῖς πιστοῖς, καὶ θεραπεύει τῶν ψυχῶν, Μῆτερ καὶ σωμάτων τὰ πάθη, ὦ Μεσοπαντήτισσα, Εἰκών σου ἡ πανσέβαστος· ἣν πόθῳ σχετικῶς προσκυνοῦντες, τὰ μεγαλεῖα τὰ σά, τρανῶς κηρύττομεν.

Κανὼν δεύτερος. Σύ μου ἰσχύς.

Ἀποτελεῖ, τῷ Διδασκάλῳ παράκλησιν, παρουσίᾳ, μόνῃ σου πανεύφημε, ἐν δυσχερεῖ τόπῳ καὶ καιρῷ· οὕτω καὶ νῦν δίδου, τοῖς αἰτουμένοις σε ἄνεσιν, αἰσίᾳ παρουσίᾳ, τῆς Κάρας σου ἐν μέσῳ, τῶν σῶν τέκνων παμμάκαρ Ἀπόστολε.

Ῥῆμα καλόν, σῷ Διδασκάλῳ ἀνήγγειλας, παρακλήσει, τῶν κατ᾽ ἐπιπόθησιν, ἐν ὀδυρμῷ ζήλῳ τε πολλῷ, παύλειον τηρούντων, λόγον καὶ φρόνημα γνήσιον. Ὁμοίως ἡμῖν δίδου, παράκλησιν σῇ Κάρᾳ, Ἐκκλησίαις εἰρήνην δὲ αἴτησαι.

Ἀναπαυθείς, ἐν ζηλωταῖς τῷ σῷ πνεύματι, καὶ τῷ Παύλῳ, χαίρειν περισσότερον, τῇ σῇ χαρᾷ Τίτε συνεργεῖς, καύχησιν ἐκείνου, ἐπὶ τοῖς τέκνοις ὡς εὔλογον, ἐν πᾶσιν ὡς ἀνεῖπες· καὶ νῦν τὴν ἡμετέραν, ἐπὶ σοὶ τίς ἐξείποι ἐγκαύχησιν;

Θεοτοκίον.

Σὲ τὴν Ἁγνήν, σὲ τὴν Παρθένον καὶ Ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγήν, σκέπην κραταιάν, ὅπλον σωτηρίας· μή με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις.

www.tezaurliturgic.ro



Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέως.

Ὀρθίσωμεν πάντες πρὸς ὕμνον, τοῦ θεοκήρυκος Τίτου, βοῶντες μετ᾿ εὐφροσύνης· Χαῖρε ὁ ἀνέσπερος, σῆς κληρουχίας ἥλιος, πάντας φωτίζων τοῖς θαύμασι.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, περὶ τὰ τέκνα σου Τίτε, τεκμαίρεται ἡ σὴ Κάρα, ἐκ Δυσμῶν τῇ νήσῳ σου, μετενεχθεῖσα Ἅγιε, τῇ εὐδοκίᾳ τοῦ κρείττονος.

Προσέλθωμεν ἐν εὐφροσύνῃ, τοῦ Ἀποστόλου ἐν οἴκῳ, ἡ Κάρα ἔνθα ὑπάρχει, καὶ τὸ γόνυ κλίνωμεν, πρὸ ταύτης ἀνακράζοντες· Φύλαττε Τίτε τὴν ποίμνην σου.

Θεοτοκίον.

Ἱλέωσαι Θεοκυῆτορ, Μεσοπαντήτισσα Κόρη, τοῖς δούλοις σου τὸν Δεσπότην· πιστῶς γὰρ προστρέχομεν, τῇ εὐαγεῖ Εἰκόνι σου, αἶνον τῇ δόξῃ σου ᾄδοντες.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Σπλάγχνα σὰ θεῖε Τίτε, ὡς περισσοτέρως ἀνέπαυες πρότερον, ὅτε ἐμιμνήσκου, δεξαμένων σε σέβας φιλάδελφον, σὺν ὑπακοῇ τε, πρὸς σὸν Διδάσκαλον ἣν εἶχον, νῦν δὲ εὕροις ἐν Κρήτῃ ἀνάπαυσιν.

Ὑπηρέτησας ἔργῳ, τῆς ἀγάπης Τίτε λογίας δεξάμενος, καθὼς προενήρξω, συντελέσας τὴν χάριν ἀκέραιον, τοῖς ὑστερημένοις, ἄλλων περίσσευμα κομίσας, τῇ δὲ Κρήτῃ σαυτὸν οὐκ ἐστέρησας.

Μηδαμῶς παραλλάξας, ὅτε παρεκάλεσε καὶ ἐξαπέστειλε, θεῖος Παῦλος Τίτε, τῆς ἀγάπης διάκονον χρίσας σε· ἀλλ᾿ αὐτοῦ τὸ πνεῦμα, ἴχνη τε συνακολουθήσας, καὶ νῦν ταῦτα προβάλλεις τῇ Κάρᾳ σου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἀπὸ πάσης ἀνάγκης, θλίψεως καὶ νόσου, καὶ βλάβης με λύτρωσαι, καὶ τῇ σῇ δυνάμει, ἐν τῇ σκέπῃ σου φύλαξον ἄτρωτον, ἐκ παντὸς κινδύνου, καὶ ἐξ ἐχθρῶν τῶν πολεμούντων, καὶ μισούντων με Κόρη Πανύμνητε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κατῆλθεν ἐν τῷ εὐαγεῖ σου ναῷ, νῦν ἰδοὺ ὦ Πρωτεπίσκοπε Τίτε, ἡ ποίμνη σου ἐκβοῶσα λαμπρῶς· Μὴ στερήσῃς με, ὡς ὑπάρχων ἀγαθός, τῆς θερμῆς σου εὐνοίας.

Φυλάξας τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν, ἀσινῆ σὴν χαριτόβρυτον Κάραν, ηὐδόκησας μετὰ χρόνους πολλούς, ἐν καθέδρᾳ σου, θαυμαστῶς ἐπανελθεῖν, διὰ ταύτης ὦ Τίτε.

Σῶτέρ μου ταῖς τοῦ Ἀποστόλου λιταῖς, οὗ τὴν Κάραν ἀπελάβομεν ἄρτι, πρυτάνευσον ὡς οἰκτίρμων ἡμῖν, τὴν συγχώρησιν, τῶν πολλῶν ἁμαρτιῶν, καὶ εἰρήνην τελείαν.

Θεοτοκίον.

Λαμπρύνεις, τῷ ἀκαταλύτῳ φωτί, τῆς ἀρρήτου σου Ἁγνὴ εὐσπλαγχνίας, σοὺς δούλους Μεσοπαντήτισσα νῦν, τῇ Εἰκόνι σου παρεστῶτας εὐλαβῶς, καὶ πιστῶς σε ὑμνοῦντας.

Κανὼν δεύτερος. Τὴν δέησιν ἐκχεῶ.

Νοσούντων σε, θλιβομένων πάντων τε, ἐκδεχόμεθα προστάτην ὦ Τίτε· σὺ γὰρ ἐν ζήλῳ αὐθαίρετος ἔνθους, καὶ σπουδαιότερος Παύλου ὡς σύναθλος, ἐξῆλθες εἰς Ἐκκλησιῶν, καὶ πιστῶν ἀρωγὴν νῦν καὶ ἔκπαλαι.

Ὁ ἔπαινος, τοῦ σοῦ ζήλου ἄξιος, ἐκ πασῶν Ἐκκλησιῶν ἠκολούθει, τῷ μετὰ σοῦ συνεργοῦντι συμψύχῳ, διακονίαν δὲ Τίτε ἀμώμητον, ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ, σὺ προσήνεγκας ὡς νῦν τὴν Κάραν σου.

www.tezaurliturgic.ro



Συνέκδημον, συνεργόν τε ἄριστον, κοινωνὸν δ᾽ αὐτοῦ καλεῖ σε ὦ Τίτε, ὁ Κορυφαῖος ἐθνῶν χριστοκῆρυξ, δόξαν Χριστοῦ ἀδελφὸν καὶ Ἀπόστολον, ἐκκλησιῶν διαπρεπῆ, σοὶ δὲ Κρήτη ἀεὶ ἐναβρύνεται.

Θεοτοκίον.

Παράκλησιν ἐν ταῖς θλίψεσι οἶδα, καὶ τῶν νόσων ἰατρόν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχινὴν καὶ ὀξεῖαν ἀντίληψιν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Νεύματι θείῳ ἐκ Δυσμῶν τῇ κληρουχίᾳ σου,
μετενεχθεῖσα ἐν πομπῇ Τίτε ἡ Κάρα σου,
ἐν ναῷ σου νῦν ἀπόκειται τῷ ἁγίῳ,
ἀναβλύζουσα χαρίτων ῥεῖθρον ἄϋλον,
καὶ εὐφραίνουσα ψυχῶν τὰ αἰσθητήρια,
τῶν βοώντων σοι· Χαίροις μάκαρ Ἀπόστολε.

Ὁ Οἶκος.

Νῦν φαιδρὰν συγκροτοῦμεν, ἑορτήν σοι ὦ Τίτε, ἐπὶ τῇ ἐπανόδῳ σῆς Κάρας, δι᾽ ἧς ἐπεύφρανας ἡμᾶς, τὰ κατὰ πνεῦμά σου Ἅγιε ἔκγονα, καὶ εὐσεβῶς βοῶμέν σοι, ὡς τέκνα τῷ Πατρὶ τοιαῦτα·

Χαῖρε δι᾽ οὗ Χριστὸς ἐκηρύχθη·
χαῖρε δι᾽ οὗ ὁ ὄφις ᾐσχύνθη.
Χαῖρε καθαιρέτης τοῦ ψεύδους ἀήττητος·
χαῖρε μυστολέκτης τῆς πίστεως πάνσοφος.
Χαῖρε Παύλου ὁ συνέκδημος καὶ πιστὸς συγκοινωνός·
χαῖρε Κρήτης ὁ ἀρχίθρονος καὶ προστάτης κραταιός.
Χαῖρε ὅτι καθεῖλες τοὺς βωμοὺς τῶν εἰδώλων·
χαῖρε ὅτι ἐδείχθης τῶν καλῶν φυτοκόμος.
Χαῖρε φωστὴρ τῆς πίστεως ἄδυτος·
χαῖρε ἀστὴρ τῆς γνώσεως πάμφωτος.

www.tezaurliturgic.ro



Χαῖρε Κρητῶν ἀῤῥαγὴς παντευχία·
χαῖρε πιστῶν παμφαὴς δᾳδουχία.

Χαίροις μάκαρ Ἀπόστολε.

## Μηνολόγιον.

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός, τὴν ἀπὸ τῆς Βενετίας εἰς Κρήτην ἐπανακομιδὴν ἑορτάζομεν τῆς τιμίας Κάρας τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Τίτου, πρώτου Ἐπισκόπου Κρήτης.

## Στίχοι.

Ἐκ Βενετίας ὡς θησαυρὸς ἀφῖκται
Τῇ καθέδρᾳ σου ἡ σὴ Κάρα ὦ Τίτε.

Δεκάτῃ πέμπτῃ ἧκται Τίτου Κάρα τῇ ποίμνῃ.

## Συναξάριον.

Ἡ ὑπέρτιμος καὶ χαριτόβρυτος Κάρα τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Τίτου, συνεκδήμου μαθητοῦ τοῦ θεοκήρυκος Παύλου καὶ πρώτου Ἐπισκόπου καὶ φωτιστοῦ τῆς πολυθαυμάστου Κρήτης, φυλασσομένη ἐν τῷ ἐπ᾽ ὀνόματι αὐτοῦ ἐν Γορτύνῃ περικλύτῳ Ναῷ ἄχρι τῆς καταλήψεως τῆς μεγαλονήσου ὑπὸ τῶν Σαρακηνῶν ἐν ἔτει ωκδ΄ (824), καὶ διασωθεῖσα ὑπὸ εὐσεβῶν χειρῶν, μετεκομίσθη ἐν Χάνδακι ἐν ἔτει ϡξα΄ (961) καὶ ἐναπετέθη ἐν τῷ ἐκεῖ σεβασμίῳ τοῦ Ἀποστόλου οἴκῳ. Ἐν αὐτῷ δὲ ἐφυλάσσετο ἄχρι τῆς ἁλώσεως τοῦ Χάνδακος ὑπὸ τῶν ἀσεβῶν Ἀγαρηνῶν, ἐπισυμβάσης ἐν ἔτει ͵αχξθ΄ (1669), ὅτε, ἀποιχόμενοι οἱ Ἐνετοὶ δορυκτήτορες τῆς νήσου, παρέλαβον αὐτὴν μετ᾽ αὐτῶν καὶ εἰς Βενετίαν μετακομίσαντες, ἐν τῷ τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου ναῷ εὐσεβῶς κατέθεσαν.

Διακοσίων δὲ καὶ ἐννενήκοντα ἑπτὰ παρεληλυθότων ἐτῶν, ἐν ἔτει σωτηρίῳ ͵αϡξς΄ (1966), ἐγένετο ἡ ἐπανακομιδὴ αὐτῆς ἐκ τῆς Βενετίας εἰς τὴν ἁγίαν τοῦ Ἀποστόλου Καθέδραν, ἀρχιερατεύοντος τοῦ μακαριστοῦ Μητροπολίτου Κρήτης κυροῦ Εὐγενίου, τοὐπίκλην Ψαλιδάκη, καὶ ἐναπετέθη ἐν τῷ σεβασμίῳ τοῦ Ἀποστόλου φερωνύμῳ ἐν Ἡρακλείῳ ναῷ, θαύματα ἀναπηγάζουσα τοῖς προσερχομένοις αὐτῇ ἐν πίστει.

www.tezaurliturgic.ro



Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου.

Γυναῖκες μετὰ μύρων προστρέχουσιν, ὦ Τίτε τῇ Κάρᾳ σου, πίστει ἀληθεῖ, ἐπιβοῶσαι θαυμαστέ, πατρικῆς σου εὐνοίας τὰς χάριτας, ἃς δίδου τοῖς σοῖς τεκνίοις πλουσίως, Πατὴρ οἷα φιλόστοργος.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅδου τὴν καθαίρεσιν, τῆς σῆς κεφαλῆς, συνεορτάζοντες λαμπρῶς, τὴν εὐφρόσυνον Τίτε ἐπέλευσιν, ἐν ᾗ σε ἐν τῷ ἀρχαίῳ σου θρόνῳ, ὁρῶμεν καθεζόμενον.

Ὡς ὄντως θαυμαστὴ καὶ χαρμόσυνος, Κάρας σου ἡ ἔλευσις· ἧκε γὰρ ἡμῖν, ὥσπερ χρυσίον καθαρόν, ἐκ τῆς Δύσεως Τίτε Ἀπόστολε, πλουτίζουσα χάριτός σου τῷ πλούτῳ, τὴν Κρήτην εὐφημοῦσάν σε.

Θεοτοκίον.

Λαός σοι ὁ φιλόχριστος Δέσποινα, ὦ Μεσοπαντήτισσα, σπεύδει εὐλαβῶς, καὶ κατασπάζεται τῆς σῆς, παναγίας Μορφῆς τὴν ἐμφέρειαν, βοῶν σοι· Χαῖρε Ἁγνὴ Παναγία, Θεοῦ Μῆτερ Πανάφθορε.

Κανὼν δεύτερος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νουθετήσοντα πέμπει, ἐκτραπέντας τὸ πάλαι, ὁ σὸς διδάσκαλος· καὶ αὖθις δ᾿ ἐν Κυρίῳ, παραίνεσιν παρέχει, ἡ σὴ Κάρα τῇ ποίμνῃ σου, τῷ τῶν Πατέρων Θεῷ, λατρεύειν εἰς αἰῶνας.

Ἱκανὸν ὡς ἐργάτην, καὶ πιστὸν οἰκονόμον, εὑρὼν καὶ δόκιμον, κατέστησε Ποιμένα, τὸν πρώτιστον ἐν Κρήτῃ, τῶν Ἐθνῶν ὁ Ἀπόστολος, τῇ ἐπιθέσει χειρῶν, ἐπὶ σῆς Κάρας Τίτε.

www.tezaurliturgic.ro



Κομιστὴν τῶν γραμμάτων, Κορινθίοις ὁ Παῦλος, πέμπει τὸ δεύτερον· νῦν Κρήτη δ' ἐκ δευτέρου, σοῦ Τίτε ἀπολαύει, τῷ Κυρίῳ κραυγάζουσα· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Αὕτη ἡ κλητή.

Αὕτη ἡ τερπνή, καὶ μεγάλη ἡμέρα, ἐν ᾗ ἡ κορυφή σου, τῇ Κρητονήσῳ ἀφῖκται, ἑορτὴ παμφαής, καὶ πανήγυρίς ἐστι πανευφρόσυνος, ἀστράπτουσα Τίτε, φωτὶ τῶν δωρεῶν σου.

Ἆρον τῷ Θεῷ, τὰς ἁγίας σου χεῖρας, δεόμενος ὦ Τίτε, ὑπὲρ τοῦ σοῦ ποιμνίου, ἑορτάζοντος νῦν, τὴν ἐπάνοδον εὐσήμως τῆς Κάρας σου, καὶ δοξολογοῦντος, Χριστὸν τὸν ἀναστάντα.

Τριαδικόν.

Πάτερ παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, ὁμότιμε Θεότης, τρισολαμπὴς Θεαρχία, τῆς ἀψεύστου ζωῆς, καταξίωσον ἡμᾶς παρακλήσεσι, Παύλου τε καὶ Τίτου, τῶν θείων Ἀποστόλων.

Θεοτοκίον.

Ὄμβρισον ἡμῖν, συμπαθείας σταγόνας, ἐκ τοῦ Μορφώματός σου, Μεσοπαντήτισσα Κόρη, τῶν παθῶν τῆς σαρκός, τὸν ψυχόλεθρον σβεννύουσα καύσωνα, ἵνα σε ὑμνῶμεν, τὴν Κεχαριτωμένην.

www.tezaurliturgic.ro



Κανὼν δεύτερος. Τὸν Βασιλέα.

Ὁ τὸν ἐν Ρώμῃ, αἰχμαλωσίας ῥυσθέντα, Τίτος Παῦλον συνοδεύων ἐβόα· Τὸν Κύριον ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Διέπλει πρῴην, ὁ θεῖος Παῦλος τὴν Κρήτην, ὃν Καλοὶ Λιμένες εἶδον δεσμώτην, σὺν σοὶ κραυγάζων Τίτε· Τὸν Κύριον ὑμνεῖτε.

Ἡ θεία Κάρα, ἐπανελθοῦσα εἰς Κρήτην, ἡ τοῦ Τίτου δευτεροῖ νῦν τὸν αἶνον· Τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Τῶν πειρασμῶν, σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Φωτίζου φωτίζου.

Μεγάλυνον ψυχή μου, τὸν ἔνδοξον νῦν Τίτον, ἐπὶ τῇ ἐπανόδῳ, αὐτοῦ τῆς θείας Κάρας.

Εὐφραίνου ἀγάλλου, ἡ νῆσος Κρήτη ἱερῶς, τὴν ὑπέρτιμον Κάραν, Τίτου τοῦ παμμάκαρος, ὡς ἀγαθῶν κεκτημένη πηγήν, καὶ θησαυρόν, θεϊκῇ προνοίᾳ, τῆς ἐνεργείας τοῦ Πνεύματος.

Σήμερον πᾶσα Κρήτη, ἀγάλλεται καὶ χαίρει, ἀπολαβοῦσα Τίτου, τὴν σεβασμίαν Κάραν.

Ὢ θείας ἀγάπης! ὢ εὐμενείας πατρικῆς! σὺ γὰρ Τίτε καὶ πάλιν, ἡμῖν παραγέγονας, διὰ τῆς σῆς ἱερᾶς κεφαλῆς, τῆς τοῦ Χριστοῦ, πίστεως τὸν λόγον, κηρύττων ὥσπερ καὶ πρότερον.

www.tezaurliturgic.ro



Ἐκ Βενετίας ἧκται, ἡ Κάρα σου ὦ Τίτε, παρέχουσα τῇ ποίμνῃ, χάριτος θείας δόσεις.

Ὦ Τίτε τοῦ Παύλου, ὁ γνησιώτατος υἱός, τῆς Κρητῶν Ἐκκλησίας, ὁ Ποιμὴν ὁ πρώτιστος, ἀπὸ δεινῶν καὶ παντοίων ἐχθρῶν, σὴν λογικήν, ποίμνην ἀεὶ σκέπε, καὶ πρὸς νομὴν ζωῆς ἴθυνον.

Θεοτοκίον.

Εἰκόνι τῇ πανσέπτῳ, τῆς Μεσοπαντητίσσης, προσπέσωμεν τὸ Χαῖρε, βοῶντες τῇ Παρθένῳ.

Ὑπέραγνε Κόρη, Μεσοπαντήτισσα Ἁγνή, προστασίαν τε σκέπην, κραταιὰν ἀντίληψιν, ἐν πειρασμοῖς εὕρομέν σε ἀεί· διὸ τῇ σῇ σπεύδοντες Εἰκόνι, τὸν ἀσπασμόν σοι προσφέρομεν.

Κανὼν δεύτερος. Ἔξεστη ἐπὶ τούτῳ.

Μεγάλυνον ψυχή μου, τὸν τῆς Κρητονήσου, φιλόστοργον Πατέρα.

Μεγάλυνον ὦ Κρήτη τὸν Λυτρωτήν, καὶ ἀγάλλου καὶ ψάλλε τῷ πνεύματι, Πεντηκοστῆς, θείας μετασχοῦσα αὐθημερόν, ὅτε καὶ Κρῆτες ἤκουσαν, ἐν ἑτέραις γλώσσαις τῶν Μαθητῶν, λαλούντων σωτηρίαν, ἣν σοι κατόπιν Τίτος, σὺν θείῳ Παύλῳ διεκήρυξαν.

Μεγάλυνον ψυχή μου, Τίτον τὸν τῆς Κρήτης, πρωτόθρονον ποιμένα.

Ὁ Κρήτης Πρωτεπίσκοπος γεγονώς, τῆς ἐνδόξου ὃν Παῦλος κατέλιπε, πρόνοιαν σχών, ταύτην μαθητεῦσαί σε εἰς Χριστόν, Γορτύνης ἐξορμώμενος, καὶ ἀνὰ τὰ πέρατα ἐξιών, τὴν νῆσον συνεγείρεις, καὶ εἰς Χριστὸν προσάγεις, ἣ μεγαλύνει Τίτε Κάραν σου.

www.tezaurliturgic.ro



Δόξα.

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.

Ὑμνοῦμέν σε ὦ Τίτε τὸν ἀπαρχῆς, Ποιμενάρχην τῆς Κρήτης γενόμενον, καὶ ὡς σεπτόν, ταύτης πολιοῦχον καὶ θησαυρόν, καὶ θεοφόρον Πάτρωνα, τὸν ἀπὸ κινδύνων καὶ συμφορῶν, ῥυόμενον σὴν ποίμνην, τιμῶσάν σου τὴν μνήμην, καὶ τὴν σὴν Κάραν περιέπουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Τὴν δέησίν μου δέξαι τὴν πενιχράν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμόν· ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθή, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς, Δεσπότου Θεοῦ Μήτηρ, εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὡς ἔμψυχον γεώργιον, τῆς φυτείας τοῦ Παύλου, καὶ γεωργὸν πανάριστον, τῆς Κρητῶν Ἐκκλησίας, ὡς πίστεως τῆς ἁγίας, παναρμόνιον λύραν, ὡς πρόμαχον ἀήττητον, τῶν οἰκείων σε τέκνων, Τίτε σοφέ, σήμερον γεραίρομεν ἑορτίως, προσπίπτοντες τῇ Κάρᾳ σου, ἐξ ἧς χάρις ἐκβλύζει.

Ἕτερον. Ὅμοιον.
Νικοδήμου Ἀρχιερέως.

Καταλιπὼν ἐν Κρήτῃ σε, ὁ Διδάσκαλος Τίτε, ἀπῆλθεν εἰς Νικόπολιν, Εὐαγγέλιον θεῖον, κηρῦξαι τοῖς ἐν Ἠπείρῳ· ὅθεν γράφων ἐκάλει, παρ' ἑαυτῷ σε τάχιον, μεταβῆναι· ἡμεῖς δέ, ἐφ' ἱκανόν, προσδοκῶντες Ἅγιε τὴν σὴν Κάραν, ἐλθοῦσαν εἰς καθέδραν σου, τὴν ἐν Κρήτῃ τιμῶμεν.

www.tezaurliturgic.ro



Καὶ τὸ τῆς Ἑορτῆς.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ´ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ´. Ἔδωκας σημείωσιν.

Σήμερον ἑόρτιον, ἐν τῇ ἐλεύσει τῆς Κάρας σου, οἱ πιστοὶ μνήμην ἄγοντες, λαμπρῶς εὐφραινόμεθα, καὶ ἐν ἐγκωμίοις, τιμῶμέν σε Τίτε, ὡς Πρωτεπίσκοπον σεπτόν, καὶ λαμπαδοῦχον τῆς Κρήτης ἔνθεον, καὶ μέλπομεν τοὺς πόνους σου, δι᾽ ὧν ὡς νύμφην παρέστησας, καθαρὰν καὶ ἀμώμητον, τῷ Κυρίῳ τὴν νῆσόν σου.

Ἔδωκας τὴν Κάραν σου, καθάπερ σκεῦος πολύτιμον, δωρεῶν τῶν τοῦ κρείττονος, ὦ Τίτε Ἀπόστολε, τῇ σῇ κληρουχίᾳ, ἣν πάλαι ἐρρύσω, τῆς τῶν εἰδώλων ἐναγοῦς, λατρείας μάκαρ τῷ σῷ κηρύγματι· διὸ νῦν τὴν μετένεξιν, ταύτης τιμῶσα ἐν ᾄσμασιν, ἐξ αὐτῆς ἀπαρύεται, τὴν σωτήριον χάριν σου.

Οὖσα ὑπερόριος, ἐν Βενετίᾳ ἡ Κάρα σου, πλείστοις Τίτε ἐν ἔτεσιν, ἀρτίως τῇ ποίμνῃ σου, ἧκται φερομένη, χερσὶ ταῖς ὁσίαις, σοῦ διαδόχου τοῦ σεπτοῦ, καὶ κατετέθη ἐν θείῳ οἴκῳ σου, ἐν ᾧ συναθροιζόμενοι, οἱ εὐσεβεῖς σε γεραίρομεν, καὶ αἰτοῦμεν προστάτην σε, θεομάκαρ θερμότατον.

Δεῦτε νῦν συνδράμωμεν, Κρητῶν ἁπάντων οἱ σύλλογοι, τῷ ναῷ τοῦ παμμάκαρος, ἔνθα τεθησαύρισται, ἡ τιμία Κάρα, τοῦ Τίτου βοῶντες· Ὦ Πρωτεπίσκοπε κλεινέ, ἀπὸ κινδύνων καὶ περιστάσεων, δεινῶν τε καὶ κακώσεων, ἐπιδρομῶν τε καὶ θλίψεων, ἀνωτέραν συντήρησον, εἰς αἰῶνας τὴν νῆσόν σου.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. α΄.

Τὸν ἐξ ἀσεβείας εἰς εὐσέβειαν ἡμᾶς μεταστήσαντα, καὶ τῷ φωτὶ τῆς Θεοῦ ἐπιγνώσεως καταυγάσαντα, Τίτον τὸν θεόπνουν Ἀπόστολον, προφητικῶς ἐν φαιδροῖς ἐγκωμίοις, αἱ τῶν Κρητῶν χορεῖαι τιμήσωμεν καὶ τὴν ὑπέρτιμον Κάραν αὐτοῦ, μετὰ παρέλευσιν χρόνων πλειόνων, θεϊκῇ ἐπινεύσει ἡμῖν ἀποδοθεῖσαν, γονυκλινῶς κατασπασώμεθα· ἰδοὺ γὰρ πρόκειται θαυμαστῶς, τῆς δεδομένης αὐτῷ ἐν ὑψίστοις ἀξίας, τεκμήριον ὄντως ἀψευδέστατον, τὰ ῥεῖθρα τῶν θαυμάτων πελαγίζουσα, καὶ τῆς αἰωνίου ζωῆς τὰς δωρεάς, μυστικῶς ὑποφαίνουσα. Διὸ καὶ γηθοσύνως, αὐτὴν λιτανεύοντες ἐκβοήσωμεν· Ἀξιάγαστε Ἀρχιποίμην, Ἱεράρχα σεβάσμιε, ὡς ἡμῶν κατὰ πνεῦμα, φιλόστοργος ὑπάρχων Πατήρ, δίδου ἡμῖν τὰς ὑποθήκας σου φυλάττειν, καὶ εὐάρεστον Θεῷ λατρείαν ἀπονέμειν, ὡς ἂν εὕρωμεν διὰ σοῦ, τὴν σωτηρίαν ἣν ἐκήρυξας.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ κε΄ Αὐγούστου.

### Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. Ἀλληλούϊα.

### Μεγαλυνάρια.

Παύλου τὸν συνέκδημον μαθητήν, Τίτον νῦν ἐν ὕμνοις, εὐφημήσωμεν οἱ πιστοί, ὅτι ἐκ τῆς Κάρας, αὐτοῦ ἡμῖν ἐκβλύζει, ὡς ἐκ πηγῆς τὸ ὕδωρ, τῆς θείας χάριτος.

Ἧκται νεύσει κρείττονι ἐκ Δυσμῶν, τῇ ποίμνῃ σου Τίτε, ἡ ἁγία σου Κεφαλή, ἐφ᾽ ἧς πάλαι Παῦλος, ἐπέθηκε τὰς χεῖρας, βλυστάνουσα θαυμάτων, ῥεῖθρα ἀείροα.